# *ΕΒΔΟΜΟΣ ΑΓΩΝ ΑΤΤΙΚΙΣΜΟΥ*

*Εἰσὶν μέντοι ἔτι καὶ νῦν οἱ τὴν τοῦ Πλάτωνος φωνὴν μανθάνουσιν, βουλόμενοι τὰ τῶν Ἑλλήνων ἄριστα ἔργα φιλοσοφίας ἢ τραγῳδίας ἢ ῥητορικῆς ἄμεινον συνιέναι. Τοῦτο δὲ τοῖς εὖ μεμαθηκόσι τῷ ὄντι οὐκ ἀρκέσει, ἀλλὰ πρὸς τὸ ταύτῃ τῇ φωνῇ χρῆσθαι προχωρήσουσιν. καὶ δεῖ εἰς τὰ φρόνιμα αὐτοὺς καὶ τὰ σοφὰ μᾶλλον στρέφεσθαι, ὥστε ἐκ τῆς τότε ἀκριβολογίας ὠφελεῖσθαι.*

*Διὰ δὲ τοῦτο παρακαλεῖ τὸ Ἑλληνικὸν Εἰδύλλιον πάντας τοὺς ἀττικίζοντας καὶ πάσας τὰς ἀττικιζούσας συγγράψαι ἀττικὰ συγγράμματα. Αἱ δὴ πρέπουσαι ὑποθέσεις· Τίς ἐστιν ἡ τῆς ἀρχαίας φωνῆς δύναμις; Πῶς αἱ τῶν Ἑλλήνων σκέψεις καὶ πράξεις εἰς τοὺς ὑστέρους χρόνους τὸ καλῶς φρονῆσαι ἐνήργησαν;*

***Τὸ Ἑλληνικὸν Εἰδύλλιον τὰ ἐπεσταλμένα ἔργα τιμήσει ὧδε·***
*1. πάντες δίπλωμα λήψονται. 2. ἐν τῷ διπλώματι δῆλα γενήσεται τὰ ἐπαίνου ἄξια. 3. ἢ τὸ διαδίκτυον ἢ ἑρμηνευτικαὶ ἐφημερίδες τὰ ἀξιώτερα εἰς τὸ κοινὸν ἀναφανοῦσιν. 4. τοῖς ἀξιολογωτάτοις ἔργοις δῶρα κείσεται, παραδείγματος χάριν κατάλυμα δωρεὰν ἐν τῷ Ἑλληνικῷ Εἰδυλλίῳ.*

***Οἱ τοῦ ἀγῶνος ὅροι:***

*Ἐπιστείλατε δήπου σύγγραμμά τι ὑμῶν μέχρι τῆς πρώτης Ἰουλίου 2005 εἰς τὸ Ἑλληνικὸν Εἰδύλλιον. Γράψατε τοίνυν τὸ σύγγραμμα ὑπολογιστηρικῶς (by computer), ἀλλὰ μὴ γράψητε μεῖζόν τι ἢ ἑκατὸν στοίχους ἐπὶ δυοῖν χάρταις. Καὶ ἐπαγγείλατε, ἀντιβολοῦμεν ὑμᾶς, τὰ νῦν ἐπιτηδεύματα· πρὸς δὲ τούτοις, ὅπως ἐμάθετε καὶ ὁπόσον χρόνον τὴν γλῶτταν ἤδη ἴστε.*

*Τὸ Ἑλληνικὸν Εἰδύλλιον τοῦτον τὸν ἀγῶνα προκηρύττει πᾶσι φιλαττικοῖς πασῶν χωρῶν ὡς τιμῆσον τὴν τῆς ἀττικῆς φωνῆς διδασκαλίαν (7.-21.8.2005) ἐν τῷ τρίτῳ καὶ δεκάτῳ ἔτει ἤδη γενησομένην.*

*Ὅστις ἂν περὶ τούτου τοῦ ἀγῶνος πλέον πυθέσθαι βούληται,*
*τηλεκοινωνησάτω ἢ τῷ κυρίῳ Helmut Quack, Eritstraße 23, D-25813 Husum,*
*Τηλ. καὶ Fax 0049/4841/5429 , e-mail: helquack@freenet.de,*
*ἢ τῷ κυρίῳ Ἀνδρέᾳ Δρέκι, Ἑλληνικὸν Εἰδύλλιον, GR-25100 Σελιανίτικα/Αἴγιον,*
*Τηλ. 0030/26910/72488, Fax 0030/26910/72791 ἢ 68040,*
*e-mail: hellenikon@idyllion.gr. Internet: www.idyllion.gr*